# 13-01-2018 ΟΡΘΡΟΣ ΣΑΒΒΑΤΟΥ ΜΕ Θ.Κ.

13-01-2018

† Μνήμη Μνήμη τῶν Ἁγίων Μαρτύρων Ἑρμύλου καὶ Στρατονίκου. Τῇ αὐτῇ ἡμέρᾳ συμψάλλομεν καὶ τὴν Ἀκολουθίαν τῶν Ἁγίων Ἀββάδων, διὰ τὸ ἀποδίδοσθαι τὴν Ἑορτὴν εἰς τάς ιδ΄.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Ἦχος Δι

Θε ος Κυ ρι ος και ε πε φα νεν η μιν
ευ λο γη με νος ο ερ χο με νος εν ο νο
μα τι Κυ ρι ου

Στίχος 1. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ. (Τό ὡς ἄνω)

Στίχος 2. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ Ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θε ος Κυ ρι ος και ε πε φα νεν η μιν
ευ λο γη με νος ο ερ χο με νος εν ο νο
μα τι Κυ ρι ου

Στίχος 3. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. (Τό ὡς ἄνω)

Ἀπολυτίκιον

Ἦχος δ΄

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν ὁ ποιῶν ἀεὶ μεθ΄ ἡμῶν κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ΄ ἡμῶν, ἀλλὰ ταῖς αὐτῶν ἱκεσίας , ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

Δόξα... (Τό ὡς ἄνω)

Καὶ νῦν ...

Ἀπολυτίκιον τῆς ἑορτῆς

Ἦχος α΄

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις· τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ προσεμαρτύρει σοι, ἀγαπητόν σε Υἱὸν ὀνομάζουσα, καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς, ἐβεβαίου τοῦ λόγου τὸ ἀσφαλές. Ὁ ἐπιφανεὶς Χριστὲ ὁ Θεός, καὶ τὸν κόσμον φωτίσας δόξα σοι.

Μετὰ τὴν α΄ Στιχολογίαν

Κάθισμα Ἦχος γ΄

Ἡ Παρθένος σήμερον

Ὁ Δεσπότης σήμερον, ἐν Ἰορδάνῃ ἐπέστη, βαπτισθεὶς ἐν ὕδασιν, ὑπὸ τοῦ θείου Προδρόμου, ἄνωθεν ὁ Πατὴρ δὲ προσεμαρτύρει· Οὗτός ἐστιν ὁ Υἱὸς ὁ ἀγαπητός μου· καὶ τὸ Πνεῦμα ἐπεφάνη, ἐν ξένῃ θέᾳ, περιστερᾶς ἐπ᾽ αὐτόν.

Δόξα... Καὶ νῦν... Τὸ αὐτὸ

Μετὰ τὴν β΄ Στιχολογίαν

Κάθισμα Ἦχος δ΄. Ταχὺ προκατάλαβε

Τὴν ἔρημον πολίσαντες, ἐν εὐσεβείᾳ Θεοῦ, τὰ πάθη ἐρημώσαντες, ἐν ἐγκρατείᾳ σαφῶς, ὡς φοίνιξ ἠνθήσατε, βότρυας ψυχοτρόφους, ἀρετῶν θεοφόροι, φέροντας τοῖς ἀνθρώποις, γλυκασμὸν ὑπὲρ μέλι· διὸ καὶ μεγαλύνομεν πίστει τὴν μνήμην ὑμῶν.

Δόξα... Καὶ νῦν... Τῆς Ἑορτῆς, ὅμοιον

Τὰ ῥεῖθρα ἡγίασας τὰ Ἰορδάνια, τὸ κράτος συνέτριψας τῆς ἁμαρτίας, Χριστὲ ὁ Θεὸς ἡμῶν· ὑπέκλινας τῇ παλάμῃ, σεαυτὸν τοῦ Προδρόμου, καὶ ἔσωσας ἐκ τῆς πλάνης, τῶν ἀνθρώπων τὸ γένος· διὸ σε ἱκετεύομεν· Σῶσον τὸν κόσμον σου.

Εἶτα ἀναγινώσκεται ὁ Ν' ψαλμός

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

### Ὠδὴ α'. Κανὼν τῆς Ἑορτῆς
### Ἦχος β'
### Ὁ Εἱρμὸς

Βυθοῦ ἀνεκάλυψε πυθμένα, καὶ διὰ ξηρᾶς οἰκείους ἕλκει, ἐν αὐτῷ κατακαλύψας ἀντιπάλους, ὁ κραταιός, ἐν πολέμοις Κύριος, ὅτι δεδόξασται.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἀδὰμ τὸν φθαρέντα ἀναπλάττει, ῥείθροις Ἰορδάνου καὶ δρακόντων, κεφαλὰς ἐμφωλευόντων διαθλάττει, ὁ Βασιλεὺς τῶν αἰώνων Κύριος, ὅτι δεδόξασται.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Πυρὶ τῆς θεότητος ἀΰλῳ, σάρκα ὑλικὴν ἠμφιεσμένος, Ἰορδάνου περιβάλλεται τὸ νᾶμα, ὁ σαρκωθεὶς ἐκ Παρθένου Κύριος• ὅτι δεδόξασται.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τὸν ῥύπον ὁ σμήχων τῶν ἀνθρώπων, τούτοις καθαρθεὶς ἐν Ἰορδάνῃ, οἷς θελήσας ὡμοιώθη ὃ ἦν μείνας, τοὺς ἐν σκότει φωτίζει Κύριος, ὅτι δεδόξασται.

Ἕτερος κανὼν τῶν Μαρτύρων

Ὠδὴ α' Ἦχος πλ. δ' Ἄσωμεν τῷ Κυρίῳ πάντες λαοί,

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Τίμιοι ὡς ἀστέρες θεολαμπεῖς, τῷ στερεώματι σοφοί, τῆς Ἐκκλησίας ὤφθητε, καταυγάζοντες ἡμᾶς, θείαις λαμπρότησι Μάρτυρες.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ὤφθητε ὥσπερ ἄνθρακες νοητοί, προσαναπτόμενοι πυρί, τοῦ Πνεύματος Ἀοίδιμοι, καὶ εἰδώλων τὴν πυράν, ῥείθροις αἱμάτων ἐσβέσατε.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Νάμασι προσκλυζόμενοι τοῦ Χριστοῦ, τοῦ ἐν τοῖς ῥείθροις τὴν ἡμῶν, ἀσέβειαν βυθίσαντος, ἀθεΐας ποταμούς, Μάρτυρες ἀπεξηράνατε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Θεοτοκίον

Στῆσόν μου ἁμαρτίας τοὺς ὀχετούς, ἡ τοῦ θανάτου τὴν φθοράν, τῷ τόκῳ σου μαράνασα, καὶ κατάνυξίν μοι δός, Θεοκυῆτορ Πανάμωμε.

Ὁ κανὼν τῶν Ὁσίων
Ὠδὴ α΄.
Ἦχος δ΄
Θαλάσσης τὸ ἐρυθραῖον

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ἀσκήσει φωτοειδεῖς γενόμενοι, Μακαριώτατοι, θεοειδεῖς ἐδείχθητε σαφῶς, τῇ κενώσει τοῦ αἵματος· διὸ συνεπαγάλλεσθε, τοῖς Ἀσκηταῖς Χριστοῦ καὶ Μάρτυσι.(Δὶς)

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Θαλάσσῃ τῇ τῶν δακρύων πρότερον, ἐναπεπνίξατε, τὸν Φαραὼ Σοφοὶ τὸν νοητόν· τῶν αἱμάτων δὲ ὕστερον, τοῖς ὀχετοῖς ὠλέσατε, καὶ ἀφανίᾳ παρεπέμψατε.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Λαμπρύνων ὁ φωτοδότης Κύριος, ὑμῶν τὴν ἄθλησιν, ὑπομονῇ θεράποντες Χριστοῦ, φωταυγῆ ἀπειργάσατο, καὶ ἐμφανῆ τὴν ἄσκησιν, ὑπὲρ αὐγὰς ἡλίου λάμπουσαν.

Δόξα...

Οὐ θλῖψις οὐκ ἀλγεινῶν ἐπίτασις, οὐ μακρυσμὸς παντελὴς τῶν κοσμικῶν φροντίδων, Ἀθληταί, οὐ βαρβάρων ἀνήμερος, ἐπιδρομὴ τῆς κρείττονος, ἡμᾶς ἐλπίδος ἀπηγάγετο.

Καὶ νῦν... *Θεοτοκίον*

Ὑπάρχων ὁ κατὰ φύσιν Κύριος, πᾶσιν ἀχώρητος, ἐν σοὶ χωρεῖται Δέσποινα βροτός, εὐσπλαγχνίᾳ γενόμενος, ἵνα βροτοὺς δι᾽ ἄφατον φιλανθρωπίαν διασώσηται.

## Κανὼν τῆς Ἑορτῆς
## Ἦχος β´
## Ὁ Εἱρμὸς

Ἰσχὺν ὁ διδούς, τοῖς Βασιλεῦσιν ἡμῶν Κύριος, καὶ κέρας χρηστῶν αὐτοῦ ὑψῶν, Παρθένου ἀποτίκτεται, μολεῖ δὲ πρὸς τὸ Βάπτισμα· διὸ πιστοὶ βοήσωμεν· Οὐκ ἔστιν ἅγιος, ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος, πλὴν σου Κύριε.(Δὶς)

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Στειρεύουσα πρίν, ἠτεκνωμένη δεινῶς σήμερον, εὐφραίνου Χριστοῦ ἡ Ἐκκλησία· δι´ ὕδατος καὶ Πνεύματος· υἱοὶ γὰρ σοι γεγέννηνται, ἐν πίστει ἀνακράζοντες· Οὐκ ἔστιν ἅγιος, ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος, πλὴν σου Κύριε.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Μεγάλῃ φωνῇ, ἐν τῇ ἐρήμῳ βοᾷ Πρόδρομος· Χριστοῦ ἑτοιμάσατε ὁδούς, καὶ τρίβους τοῦ Θεοῦ ἡμῶν, εὐθείας ἀπεργάσασθε, ἐν πίστει ἀνακράζοντες· Οὐκ ἔστιν ἅγιος, ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος, πλὴν σου Κύριε.

Κανὼν τῶν Μαρτύρων

Ὠδὴ γ΄. Ἦχος πλ. δ΄. Τὸν φόβον σου Κύριε,

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ῥεόντων τὸ ἄστατον μισήσαντες τῶν μελλόντων ἐποθήσατε, ἀδιάρρευστον ἀπόλαυσιν, γενναῖοι Στρατιῶται, Χριστοῦ τοῦ Παμβασιλέως.




Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἀνδρείως ἀντέστητε θεόφρονες, παρανόμως τῷ προστάσσοντι, ἀσεβείᾳ ὑποκλίνεσθαι, καὶ νίκης οὐρανόθεν, εὕρατε στεφάνους.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ἰνδάλματα πλάνης ἠδαφίσατε, ἀπλανεῖς Χριστομάρτυρες, ἑαυτοὺς δὲ ἀνεστήσατε, ναοὺς σεπτοὺς καὶ στήλας, τῆς θεογνωσίας.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Θεοτοκίον

Ῥομφαία τὸ πρὶν ἡ στρεφομένη, τάς εἰσόδους μοι δίδωσιν, αἰδουμένη τὴν κεντήσασαν, Παρθενομῆτορ λόγχην, τὸν ἐκ σοῦ τεχθέντα.

Ὁ κανὼν τῶν Ὁσίων

Ὠδὴ γ΄. Ἦχος δ΄. Οὐκ ἐν σοφίᾳ

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Συντετριμμένῃ, διανοίᾳ Θεὸν θεραπεύσαντες, συνετρίψατε ἐχθροῦ, μεγαλαυχίαν Μακάριοι, ξίφει συντριβόμενοι, καὶ θανατούμενοι.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ἀποσκοποῦντες, τῶν μενόντων Σοφοὶ τὸ ἀΐδιον, τῶν ἀστάτων καὶ ῥευστῶν, τὸ χαμερπὲς ἀπεκρούσασθε· ὅθεν μακαρίζεσθε, Ὁσιομάρτυρες.

Δόξα...

Νόμῳ τῷ θείῳ, εὐσεβεῖ διανοίᾳ πειθήσαντες, τῆς σαρκὸς τάς ἡδονάς, δι᾽ ἐγκρατείας ὠλέσατε, καὶ νῦν ἐναθλήσαντες, δόξης ἐτύχετε.

Καὶ νῦν... Θεοτοκίον

Ὑπεραγία, ὑπεράγιον Λόγον κυήσασα, καθαγίασον ἡμῶν, καὶ τάς ψυχὰς καὶ τὰ σώματα, τῶν μακαριζόντων σε, τὴν Παναμώμητον.

## Ὠδὴ γ', τοῦ Μηναίου
## Ὁ Εἱρμὸς. Ἦχος δ'

**Ο**ὐκ ἐν σοφίᾳ, καὶ δυνάμει καὶ πλούτῳ καυχώμεθα, ἀλλ' ἐν σοὶ τῇ τοῦ Πατρός, ἐνυποστάτῳ σοφίᾳ Χριστέ· οὐ γὰρ ἔστιν Ἅγιος, πλήν σου φιλάνθρωπε.

Ἦχος Λέγετος



Κάθισμα τῶν Μαρτύρων
Ἦχος α΄ Τὸν τάφον σου Σωτὴρ

Ἐν ὕδασιν ὁμοῦ, τὸ μακάριον τέλος, ἐδέξασθε σοφοί, ἐν αὐτοῖς τὸν Βελίαρ, βυθίσαντες χάριτι, τοῦ Θεοῦ ἡμῶν Μάρτυρες· ὅθεν στέφανον, ὡς νικηφόροι λαβόντες, συναγάλλεσθε, ταῖς τῶν Ἀγγέλων χορείαις, μεθ᾽ ὧν ἡμῶν μέμνησθε.

Δόξα... τῶν Ὁσίων
Ἦχος δ΄
Ταχὺ προκατάλαβε

Ὡς πάροικοι δεικνύμενοι, καὶ παρεπίδημοι, καλύβας πηξάμενοι, ἐν ταῖς ἐρήμοις σαφῶς, ἠσκήσατε Ὅσιοι, γύμνωσιν κοσμηθέντες, ἀρετῶν τῇ ἐνδύσει, σύμμορφοι γεγονότες, τῶν Χριστοῦ παθημάτων· διὸ καὶ ὑπεμείνατε, τὴν τῶν βαρβάρων σφαγήν.

Καὶ νῦν... τῆς Ἑορτῆς ὅμοιον

Ὁ φῶς ὡς ἱμάτιον περιβαλλόμενος, τὰ ῥεῖθρα περιβάλλεται τὰ Ἰορδάνια, Χριστὸς ὁ Θεὸς ἡμῶν, ἄνωθεν μαρτυροῦντος, τοῦ Πατρὸς τῷ συνθρόνῳ, κάτωθεν προσφοιτώσης, τῆς τοῦ Πνεύματος δόξης· αὐτός ἐστιν ὁ φωτίζων καὶ ἁγιάζων ἡμᾶς.

## Ὠδὴ στ´, τοῦ Μηναίου

### Ἦχος δ´.

### Ὁ Εἱρμὸς

**Θ**ύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε, ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ Δαιμόνων λύθρου κεκαθαρμένη, τῷ δι´ οἶκτον, ἐκ τῆς πλευρᾶς σου ῥεύσαντι αἵματι».



## Κοντάκιον τῶν Ὁσίων
### Ἦχος α' Τὰ ἄνω ζητῶν

Ἐκ τῆς κοσμικῆς, συγχύσεως ἐφύγετε, καὶ πρὸς γαληνήν, κατάστασιν μετέστητε, μαρτυρίου αἵμασι, καὶ ἀσκήσεως πόνοις στεφόμενοι· ὅθεν καὶ ἀνεδείχθητε, μαρτύρων καί. Ὁσίων ὁμόσκηνοι.

## Ὁ Οἶκος

Τὰ ἐπὶ γῆς νεκρώσαντες μέλη, ζωηφόρῳ νεκρώσει, τοῦ Χριστοῦ καὶ Θεοῦ τὸ πάθος ἐξεικονίσατε, πρότερον ἐν τῇ καλῇ ἀσκήσει, καὶ τὸ δεύτερον πάλιν ἐν τῇ ἀθλήσει. Ὅθεν αὐτός, καὶ διπλοῦς τοὺς στεφάνους κατέπεμψε, ταῖς κάραις ὑμῶν Πατέρες, ἑτοιμάσας σκηνὴν ἐπουράνιον, καὶ τόπον τὸν αἰώνιον, ἔνθα νῦν ἀγαλλόμενοι ὤφθητε, Μαρτύρων καὶ Ὁσίων ὁμόσκηνοι.

## Συναξάριον

Τῇ ΙΓ' τοῦ αὐτοῦ μηνός, Μνήμη τῶν Ἁγίων Μαρτύρων Ἑρμύλου καὶ Στρατονίκου.

## Στίχοι

Ἡ σαργάνη ναῦς, Ἑρμύλῳ Στρατονίκῳ,
Κοινὸν κατάπλουν εἰς βυθὸν ποιουμένοις
Ἕρμυλον ἠδ' ἑτάρον δεκάτῃ πνίξε τρίτῃ Ἴστρος.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰακώβου, τοῦ ἀπὸ τῆς Νισίβεως.

Στίχοι

Τὸν Ἰάκωβον θνητὸν ὄντα τῇ φύσει,
Θνητοῖς ὁμοίως μὴ θανεῖν οὐκ ἦν πρέπον.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Μάρτυς Ἀθανάσιος ῥαβδιζόμενος τελειοῦται.

Στίχοι

Ῥάβδοις Ἀθανάσιε σαυτὸν ἐκδίδως,
Σπεύδων θανεῖν μέν, ζῆν δὲ πολλῷ κρειττόνως.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Παχώμιος καὶ Παπυρῖνος ἐν ποταμῷ τελειοῦνται.

Στίχοι

Τοιοῦτον εὗρε καὶ Παπυρῖνος τέλος,
Οἷον σὺ Παχώμιε, βληθεὶς εἰς ὕδωρ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τὰ ἐγκαίνια τῆς Μονῆς τοῦ Προφήτου Ἠλιού, τῆς καλουμένης τοῦ Βαθέος Ῥύακος.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

## Ὠδὴ η΄, τοῦ μηναίου

## Ἦχος δ΄

## Ὁ Εἱρμὸς

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον,

Χεῖρας ἐκπετάσας Δανιήλ, λεόντων χάσματα ἐν λάκκῳ ἔφραξε, πυρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμενοι, οἱ εὐσεβείας ἐρασταί, Παῖδες κραυγάζοντες· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.






Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ φωτὸς...

# 13-01-2018 ΟΡΘΡΟΣ ΣΑΒΒΑΤΟΥ ΜΕ Θ.Κ.

## Τιμιωτέρα τετάρτου ἦχου.

### Τιμιωτέρα Ἦχος λ τος



τα πει νω σιν της δου λης αυ του ι δου

γαρ α πο του νυν μα κα ρι ου σι με πα

σαι αι γε νε αι

Την Τι μι ω τε ραν των Χε ρου βειμ και

εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα

φειμ την α δι α φθο ρως Θε ον Λο γον τε

κου σαν την ον τως Θε ο το κον σε με γα λυ

νο μεν

Στίχος γ΄ Ο τι ε ποι η σε μοι με γα

λει α ο δυ να τος και α γι ον το

ο νο μα αυ του και το ε λε ος αυ του

εις γε νε αν και γε νε αν τοις φο βου

με νοις αυ τον

Την Τι μι ω τε ραν των Χε ρου βειμ και

εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα

φειμ την α δι α φθο ρως Θε ον Λο γον τε

κου σαν την ον τως Θε ο το κον σε με γα λυ

νο μεν

Στίχος δ'

Ε ποι η σε κρα τος εν βρα χι

ο νι αυ του δι ε σκορ πι σεν υ πε

ρη φα νους δι α νοι α καρ δι ας αυ των

Την Τι μι ω τε ραν των Χε ρου βειμ και

εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα

φειμ την α δι α φθο ρως Θε ον Λο γον τε

κου σαν την ον τως Θε ο το κον σε με γα λυ

νο μεν

Στίχος ε΄ Κα θει λε δυ να στας α πο θρο

νων και υ ψω σε τα πει νους πει νων τας ε

νε πλη σεν α γα θων και πλου του ουν τας ε

ξα πε στει λε κε νους

Την Τι μι ω τε ραν των Χε ρου βειμ και

εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα

φειμ την α δι α φθο ρως Θε ον Λο γον τε

κου σαν την ον τως Θε ο το κον σε με γα λυ

νο μεν

Στίχος στ' Ἀν τε λα βε το Ισ ρα ηλ παι

δος αυ του μνη σθη ναι ε λε ους κα θως

ε λα λη σε προς τους πα τε ρας η μων

τω Α βρα αμ και τω σπερ μα τι αυ του ε

ως αι ω νος

Την Τι μι ω τε ραν των Χε ρου βειμ

και εν δο ξο τε ραν α συγ κρι τως των

Σε ρα φειμ την α δι α φθο ρως Θε ον

Λο γον τε κου σαν την ον τως Θε ο το κον

σε μεγα λυ νομεν

Εἶτα ψάλλεται
ἡ θ΄ ᾠδὴ τοῦ Μηναίου
Ἦχος δ΄.
Ὁ Εἱρμὸς

Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλαξεύτου σου Παρθένε, ἀκρογωνιαῖος ἐτμήθη, Χριστὸς συνάψας, τὰς διεστώσας φύσεις· διὸ ἐπαγαλλόμενοι, σὲ Θεοτόκε μεγαλύνομεν.

Ἦχος λ Γτος

Λι θος α χει ρο τμη τος ο ρους εξ α
λα ξευ του σου Παρ θε νε α κρο γω νι αι
ος ε τμη η θη Χρι στος συ να α ψας τας
δι ε στω σας φυ σεις δι ο ε πα γαλ λο
με νοι σε ε Θε ο το κε με γα λυ νο μεν

Ἦχος λ' τος Βου



### Ἐξαποστειλάριον τῶν Ὁσίων
### Ἐν πνεύματι τῷ ἱερῷ

Τοῖς πόνοις τῆς ἀσκήσεως, τὸν ἀρχέκακον ὄφιν, εἰς τέλος ἀπεκτείνατε· ἐπὶ τέλους δὲ στέφη, τοῦ μαρτυρίου ἤρασθε, τῶν Πατέρων καύχημα, καὶ τῶν Μαρτύρων ἡ δόξα, Ῥαϊθὼ καὶ Σιναίου, ἡ πανέορτος πληθύς, τῶν θαυμασίων Πατέρων.

### Ἐξαποστειλάριον τῆς Ἑορτῆς
### Ἦχος γ´
### Ἐν πνεύματι τῷ ἱερῷ

Φωτὸς ἀδύτου γέγονεν, ἡ παροῦσα ἡμέρα· Χριστὸς γὰρ ἡ ἀλήθεια, ἦλθεν νῦν ἐπεφάνη· ψαλμοῖς αὐτὸν ἐπαξίως, καὶ ᾠδαῖς ὑμνήσωμεν, ὡς Πλάστην τε καὶ Δεσπότην. Ὢ καινοῦ μυστηρίου! τοῦ Ἀδὰμ ὁ Ποιητής, βουλήσει ἄνθρωπος ὤφθη.

## Α Ι Ν Ο Ι

## ΨΑΛΜΟΣ ΡΜΗ΄ (148)

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ.

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ τῆς γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοὶς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

## ΨΑΛΜΟΣ ΡΜΘ΄ (149)

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ Ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ , ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχὴσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον, δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

## ΨΑΛΜΟΣ ΡΝʹ (150)

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ .

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλλαλαγμοῦ, Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Δόξα... Καὶ νῦν...

Ὁ προεστώς:

Σοὶ δόξα πρέπει, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῶ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἀναγνώστης χῦμα τό:

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμεν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ Υἱός τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα. Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος:

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὁ χορός: Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Ὁ χορός: Κύριε ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.

Ὁ χορός: Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ χορός: Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ χορός: Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ χορός: Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ χορός: Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Ὁ χορός: Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός: Σοὶ Κύριε.

Ὅτι Θεός ἐλέους, οἰκτιρμῶν, καὶ φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αιῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Ὁ Ἱερεύς: Εἰρήνη πᾶσι.

Ὁ χορός: Καὶ τῷ πνεύματί σου.

ὁ διάκονος: Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός: Σοί, Κύριε.

Ὁ Ἱερεύς: Τὴν εὐχὴν τῆς κεφαλοκλισίας......

Ὁ Ἱερεύς: Σὸν γὰρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Καὶ ἀρχόμεθα ψάλλειν τὰ Ἀπόστιχα τῶν Αἴνων

Εἰς τοὺς αἴνους. Στιχηρὰ Προσόμοια
Ἦχος πλ. β΄. Αἱ Ἀγγελικαὶ

Δεῦτε καὶ ἡμεῖς, ἐν αἰσθήσει τῆς καρδίας, δράμωμεν πιστοί, ἐν τοῖς ῥείθροις Ἰορδάνου, καὶ τὸν Χριστὸν ἰδόντες, σαρκικῶς βαπτιζόμενον, ὑπὸ Ἰωάννου τοῦ Προδρόμου, νῦν σὺν αὐτῷ δοξολογοῦντες, αὐτῷ κράξωμεν· Εὐλογημένος ὁ φανείς, Θεὸς ἡμῶν δόξα σοι.

Στίχ. Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω

Νῦν τοῦ Ἰεσσαί, ἀνεβλάστησεν ἡ ῥάβδος, θείαν κιβωτόν, καὶ τοῦ μάννα θεοδόχον, ἐξ ἧς προῆλθεν ἄνθος, τῆς ζωῆς τὸ ἀκήρατον· ὃν ὁ Ἰορδάνης καταπτήξας, καὶ ὁ Ἰωάννης χειραπτήσας, πιστῶς ἔκραζεν· Εὐλογημένος ὁ φανείς, Θεὸς ἡμῶν δόξα σοι.

Στίχ. Τί σοί ἐστι θάλασσα, ὅτι ἔφυγες; καὶ σοὶ Ἰορδάνη ὅτι ἐστράφης εἰς τὰ ὀπίσω;

Ἄσατε ᾠδαῖς, αἱ οὐράνιαι Δυνάμεις· ψάλατε βροτοί, καὶ ἀγάλλεσθε συμφώνως· ἰδοὺ γὰρ ὁ Δεσπότης, τοῦ Πατρὸς τὸ ἀπαύγασμα, ἔρχεται ἐν ῥείθροις, Ἰορδάνου, ἵνα βαπτισθῇ ὑπὸ τοῦ δούλου· λαοὶ κράξωμεν· Εὐλογημένος ὁ φανείς, Θεὸς ἡμῶν δόξα σοι.

# Δόξα... Ἦχος πλ. δ'

Ἦχος πλ. δ' Νη






Καὶ νῦν ... Ἦχος πλ. δ'




ϑρω ποι συ υμ μι ι ι ι γνυ υ υν ται ο
που ου γαρ βα σι λε ω ως πα α ρου ου σι ι ι
α α και η τα α ξις πα ρα α γι ι ι ι
νε ε ε ται δρα μω μεν τοι οι νυν ε ε πι
ι τον Ι ο ο ορ δα α α νην ι ι
δω με εν πα α αν τες τον Ι ω ω ω α α
αν νην πως βα α πτι ι ι ζει κο ρυ υ φην α
χει ρο ποι η τον και α να α μα α α αρ τη
η η τον δι ο α πο στο λι κην φω ω
νην προ σα α α α γο ο ον τες συμ φω
νω ως βο ο η η η σω ω ω ω μεν ε


πε φα α νη η χα α ρις του ϑε ε ου η
σω τη ρι ι ο ος πα σιν α α αν ϑρω ω ω
ποις κα τα αυ γα α α α ζου ου ου σα και
πα ρε χου ου σα πι στοι οις το με γα ε ε ε ε
λε ε ε ε ος

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ γ΄)

Δόξα... Καὶ νῦν ...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα... Καὶ νῦν ...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἱερεύς: Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

### Ἀπολυτίκιον
### Ἦχος δ´

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν ὁ ποιῶν ἀεὶ μεθ´ ἡμῶν κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ´ ἡμῶν, ἀλλὰ ταῖς αὐτῶν ἱκεσίας , ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

Δόξα... Καὶ νῦν ...

### Ἀπολυτίκιον τῆς ἑορτῆς
### Ἦχος α´

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις· τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ προσεμαρτύρει σοι, ἀγαπητόν σε Υἱὸν ὀνομάζουσα, καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς, ἐβεβαίου τοῦ λόγου τὸ ἀσφαλές. Ὁ ἐπιφανεὶς Χριστὲ ὁ Θεός, καὶ τὸν κόσμον φωτίσας δόξα σοι.

## 13-01-2018 ΟΡΘΡΟϹ ϹΑΒΒΑΤΟΥ ΜΕ Θ.Κ.

Εἰς τήν Θείαν Λειτουργίαν.

### ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ

Ἦχος πα Νη




### ΕΤΕΡΑ




4. Κυ ρι ε ε ε λε η σο ο ον
5. Κυ ρι ε ε λε ε η σον
6. Κυ ρι ε ε λε ε ε η σον
7. Κυ ρι ε ε λε η σον
8. Κυ ρι ε ε λε η σον
9. Κυ ρι ε ε λε η σον
10. Κυ ρι ε ε λε ε η σον
11. Κυ ρι ε ε λε ε ε η σον
12. Σοι Κυ ρι ε

## Ἀντίφωνον Α'.

Ἦχος Δι




γεν ο Ι ορ δα νης ε στρα φη εις τα ο
πι σω
Ταις πρε σβει αις της Θε ο το κου Σω
τερ σω σον η μας
Στίχ. δ'.
Τι σοι ε στι θα λασ σα ο τι
ε φυ γες και συ Ι ορ δα νη ο τι
ε στρα φης εις τα ο πι σω
Ταις πρε σβει αις της Θε ο το κου Σω
τερ σω σον η μας
Δόξα... Καὶ νῦν...
Ταις πρε σβει αις της Θε ο το ο κου
Σω τερ σω σον η μα α ας

# 13-01-2018 ΟΡΘΡΟΣ ΣΑΒΒΑΤΟΥ ΜΕ Θ.Κ.

## Ἀντίφωνον Β΄ Ἦχος β΄




Ι ορ δα νη υ πο Ι ω αν νου ου βα πτι
σθεις ψαλ λον τας σοι αλ λη λου ου ι α
Στίχ. γ΄.
Πε ρι ε σχον με ω δι νες θα
να του κιν δυ νοι α δου ευ ρο σαν με
Σω σον η μα ας Υι ε Θε ου ο εν
Ι ορ δα νη υ πο Ι ω αν νου ου βα πτι
σθεις ψαλ λον τας σοι αλ λη λου ου ι α
Στίχ. δ΄.
Ε λε η μων ο Κυ ρι ος και
δι και ος και ο Θε ος η μων ε λε ει
Σω σον η μα ας Υι ε Θε ου ο εν
Ι ορ δα νη υ πο Ι ω αν νου ου βα πτι


σθεις ψαλ λον τας σοι αλ λη λου ου ι α
Δο ξα Πα τρι και Υι ω και Α γι
ω Πνευ μα τι Και νυν και α ει και εις τους
αι αι ω νας των αι αι ω νων α μην
Ο Μο νο γε νης Υι ος και Λο γος
του Θε ου α θα να τος υ πα α α αρ χων
και κα τα δε ξα με νος δι α την η με
τε ραν σω τη ρι ι αν σαρ κω θη η ναι
εκ της Α γι ας Θε ο το κου και α ει
παρ θε νου Μα ρι ας α τρε ε πτως ε εν
αν θρω πη σας σταυ ρω θεις τε Χρι στε ο Θε


ος ϑα να α τω ϑα να τον πα τη σας ει
εις ων της Α γι ας Τρι α δος συν δο ξα
ζο ο με νος τω Πα τρι και τω Α γι ω
Πνευ μα τι σω σον η μα α ας

## Ἀντίφωνον Γ΄.

Ἦχος Πα

Στίχ. α΄.




## Ἀπολυτίκιον. Ἦχος α΄



γου το α σφα λες Δ ο ε πι φα νεις Χρι στε

ε ο Θε ος Δ και τον κο σμον φω τι σας δο ο ξα α

σοι οι οι οι

Εἰσοδικόν. Ἦχος β'

Δε ευ τε προ σκυ νη σω μεν και προ

σπε ε σω ω μεν Χρι στω ω ω ω ω Σω

σον η μα ας Υἱ ε Θε ου ο εν Ι ορ δα

νη υ πο Ι ω αν νου ου βα πτι σθεις ψαλ λον

τας σοι αλ λη λου ου ι α

Εἶτα ψάλλομεν τὸ Ἀπολυτίκιον.



### Ἀπολυτίκιον
### Ἦχος δʹ

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν ὁ ποιῶν ἀεὶ μεθ´ ἡμῶν κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ´ ἡμῶν, ἀλλὰ ταῖς αὐτῶν ἱκεσίας , ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

### Ἀπολυτίκιον τοῦ Ναοῦ.

## Κοντάκιον τῆς Ἑορτῆς

### Ἦχος δ'.

### Μέ βάση τόν Γα ἤ Δι ως Πα.



# ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ ΣΑΒΒΑΤΟΥ ΜΕΤΑ ΤΑ ΦΩΤΑ

Προκείμενον. Ἦχος πλ. β'

Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε δίκαιοι.

Στίχ. Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι.

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα 6:10-17

Ἀδελφοί, ἐνδυναμοῦσθε ἐν Κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ. Ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου· ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. Διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ καὶ ἅπαντα κατεργασάμενοι στῆναι. Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης, ἐν πᾶσιν ἀναλαβόντες

τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι· καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ.

Ἀλληλούϊα   Ἦχος πλ. β΄

Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε.

Στίχ. Καὶ τὸ μνημόσυνόν αὐτῶν εἰς γενεὰν καὶ γενεάν.

## ΤΩ ΣΑΒΒΑΤΩ
## ΚΑΙ ΕΙΣ ΕΟΡΤΗΝ ΑΓΙΩΝ

Ἦχος Νη



Ἦχος Πα


Ἀ γαλ λι α θε δι και οι εν Κυ υ ρι
ι ι ω τοις ευ θε ε σι πρε ε πει ει αι αι
αι αι νε ε ε ε σι ι ι ι ι ι ι ι ι ι ι
ις α α αλ λη η η λου ου ι ι ι
α
Ε ξο μο λο γει θε τω Κυ υ ρι ι ι
ω ε εν κι ι θα α α α ρα εν ψαλ τη
ρι ω δε κα χο ο ορ δω ψα α α λα α
α τε ε α α αυ τω ω ω ω ω ω ω ω
ω ω ω ω α α αλ λη η η λου ου


ι ι ι α
Ἄ σα α α τε α α αυ τω α α α
μα και αι αι νο ο ον κα λω ως ψαλ λα α
τε α α αυ τω ε ε εγ α α λα α α α
λα α α α αγ μω ω ω ω ω ω ω ω ω ω ω
α α αλ λη η η λου ου ι ι ι α
Ἀ α γα α πα ε λε η μο συ νην
και κρι σιν ο Κυ ρι ι ο ος του ε λε
ε ου ους Κυ ρι ι ι ι ι ι ι ι Κυ
ρι ι ι ι ι ου πλη η η η η ρης η η
η γη η η η η η η η η η η η η α α

αλ λη η η η λου ου ι ι ι α

Ἦχος πλ. α΄ Νη


με Ἀ γαλ λι α α α α α α α α
α α α α α α α α α α α α α
α α α α α α α α α α α α
α με α γαλ λι α α α α α σθε ε ε
ε ε με ε ε ε ε δι ι ι ι ι ι ι ι ι
ι ι ι ι χι ι ι ι ι ι ι ι
ι ι ι ι ι ι ι ι δι ι ι ι
ι ι ι και αι αι οι οι εν Κυ ρι ι ι ι
ι ι ι ι ι ι ι χι ι ι ι ι ι
ι ι ι ι λι ι ι εν Κυ ρι ι ω


ω ω ω κω ω ω ω ω τοις ευ ϑε ε ε
ε ε ε ε ε ε ε ε ε τοις ευ ϑε
ε ε σι ι ι κι ι ι ι ι πρε ε ε
ε ε ε ε ε ε ε ε πει ει ει ει ει
πρε πει αι αι αι αι αι αι αι αι αι νε ε ε
ε ε ε ε ε χε ε ε ε ε ε ε ε ε
κε ε ε ε ε ε κε ε πρε πει αι αι νε ε
σι ι ι ι κι ι ι ι ις Αλ λη λου
ου ι ι ι α α α α α α α α
α

Εἴδομεν τὸ φῶς τό ἀληθινόν

Ἦχος Δι




Εἰς τό· Πάντοτε, νῦν καὶ ἀεί…

Ἦχος Δι



Πλη ρω θη τω το στο μα η μων
αι νε σε ως σου Κυ ρι ε ο πως υ μνη
σω μεν την δο ο ξαν σου ο τι η ξι ω
σας η μας των α γι ων σου με τα σχειν
μυ στη ρι ι ι ι ων τη ρη σον η μας
εν τω σω α γι α σμω ο λην την η
με ραν με λε ταν την δι και ο συ νην σου
Αλ λη λου ι α Αλ λη λου ι α Αλ λη
λου ου ι α α α

## Εἴη τό ὄνομα...

Ἦχος Δι




## Τόν Εὐλογούντα...



Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελῳδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.